Εγενιῶ. ἀλείψον.] στέαρ διδοῦσιν αὐτῷ ἀλείφεσθαι. ἵνα εὐχερῶς ὀλισθαίνειν δύνηται καὶ δύσληπτος ᾖ τῷ ἀνταγωνιστῇ. οὐκ ἀργῶς δὲ τὸ λίπος παραλαμβάνουσι διὰ τὸ ἀλλαντοποιὸν αὐτὸν εἶναι. εἰώθασι γὰρ αὐτοὶ τὰ λίπη κατατέμνοντες, βάλλειν εἰς τὸ φύραμα, καὶ οὕτω πληροῦν τοὺς βούλους. Τὰς διαβολάς.] δέον εἰπεῖν τὰς λαβὰς ὡς ἐπὶ πάλης, τὰς διαβολὰς εἶπεν ἃς ἔμελλε διαβάλλειν ὁ Κλέων. Παιδοτριβικῶς] ἐπειδὴ ἀνέτειψεν αὐτὸν τῷ λίπει, παιδοτρίβην καλεῖ. ἄλλως. ἀντὶ τοῦ ἀλειπτικῶς. παιδοτρίβαι γὰρ καλοῦνται, οἱ ἀλεῖπται καὶ κηρωματισταί. Επέγκαψον.] κάψον ἐπίφαγε ταδί. καὶ τοῦτο παρεπιγραφή. σκόροδον γὰρ αὐτῷ προσφέρει. ὃ φασὶ δεῖν αὐτὸν ἐπιφαγεῖν.

A

Bisetus. Επέγκαψον] Κάπτειν τὸ χανδὸν ἐσθίειν.

Σχόλια. Εσκοροδισμένος μάχῃ] μετενήνεχεν ἀπὸ τῶν ἀλεκτρυόνων. ὅταν γὰρ εἰς μάχην συμβάλλωσιν αὐτοὺς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ. ἄλλως. κατάφαγε τὰ σκόροδα, ἵνα ὀξύτερος γενόμενος καὶ σκοροδίοις τραφεὶς, γένῃ ὡς οἱ ἀλεκτρυόνες. κάλλαια δὲ τοὺς πώγωνας τῶν ἀλεκτρυόνων. Ηξεις πάλιν.] λεληθότως σκώπτει τὸν Κλέωνα δι' ὧν ἐκείνῳ παρακελεύεσθαι δοκεῖ. μάλιστα γὰρ παρὰ τοῖς Αθηναίοις εὐδοκίμησεν ἐκεῖνος τοὺς ἄλλους διαβάλλων τῶν δημαγωγῶν. ὡς καὶ ἐν ἀρχῇ τοῦ ποιήματος λέγων περὶ αὐτοῦ ἔφησε. κάκιστα δὴ θεοῖσί γε πρῶτος Παφλαγόνων αὐταῖσι διαβολαῖς.

B

## ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

Χο. Αλλ' ἴθι χαίρων καὶ πράξειας
Κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος, καὶ νικήσας,
Αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
Ελθοις στεφάνοις κατάπαστος.
Υμεῖς δ' ἡμῖν προσέχετε τὸν νοῦν,
Τοῖς ἀναπαίστοις, ὦ παντοίας
Ηδη μούσης πειραθέντες καθ' ἑαυτούς.

C

## Commativum Chori.

CH. *I Pede fausto, & peragas hanc rem*
*Ex animi sententia: Iuppiter*
*Agoraeus te seruet: victor*
*Illinc ad nos iterum redeas,*
*Victrice corona redimitus.*
*At vos animum aduertite nostris*
*Anapaestis, quicunque omnimodae*
*Experti in vobis estis carmina Musae.*

D

Σχόλια. Αλλ' ἴθι χαίρων.] κορωνίς. εἰσελθόντων γὰρ τῶν ὑποκριτῶν, εἶτα καταληφθεὶς ὁ χορὸς, λέγει περίοδον ἀναπαίστους ή. τὴν μὲν προπεμπτικὴν τοῦ ἑτέρου τῶν ὑποκριτῶν οὖσαν δεκάμετρον πεντάκωλον, ὑφ' ὃ διπλῆ κεῖται τὴν δευτερεύουσαν, κομμάτιον. ἄρχεται γὰρ τῆς καλουμένης τελείας παραβάσεως. ἑπτάμετρα δέ εἰσι. τὸ δὲ κομμάτιον, τετράμετρον. ἄλλως. τὸ διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι ἔοικεν εἶναι ἔκθεσις τῆς διπλῆς. διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον. ὅπερ ἔθος ἐν τῇ ἐκθέσει τίθεσθαι. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως, κομμάτιον χοροῦ ὀνομάζεσθαι ὡς εἴρηται. ἔθος γάρ ἐστι προτίθεσθαι τῆς παραβάσεως. κομμάτιόν ἐστιν ἐκ κώλων ἀναπαιστικῶν θ πλὴν τοῦ παρατελεύτου, ὅπερ μονόμετρον καὶ τοῦ πέμπτου καὶ τελευταίου, ἅπερ ἑφθημιμερῆ, διμέτρων. ἐπὶ τῷ τέλει παράγραφος. ταῦτα δὲ παρὰ τὰ Σοφοκλέους ἐξ Ιολάου.

E

Bisetus. Ενταῦθα τὰ παλαιὰ σχόλια μεγίστην ἔχει σύγχυσιν, καὶ ἀσάφειαν ἐν τῇ τούτων τῶν μέτρων δηλώσει. ἀλλὰ τούτων ἀκριβεστέραν ζήτησιν τοῖς τῶν μέτρων ἐμπειροτέροις ἐατέον. ἢ γὰρ τὰ σχόλια, ἢ τὰ τοῦ ποιητοῦ μέτρα ἐπανόρθωσιν ἀπαιτεῖν δοκοῦσιν, ἣν οὐ ῥᾴδιον αὐτίκα παραλιπεῖν, διὰ τὸ ἄδηλον τῶν ἐν τοῖς σχολίοις λεγομένων, καὶ διὰ τὸ διάφορον αὐτῶν τῶν μέτρων. ὁ μὲν τοι νοῦς ὁλόκληρος, καὶ φανερὸς ὑπάρχει.

Σχόλια. Ζεὺς ἀγοραῖος] ὡς Ζεὺς ξένιος. ἢ μειλίχιος ἢ φίλιος, οὕτως ἀγοραῖος. οἰκείως δὲ νῦν διὰ τὸν ἀλλαντοπώλην ἀγοραῖον εἶπεν. Κατάπαστος.] κατάμεστος. πλήρης πεποικιλμένος. Υμεῖς δ' ἡμῖν.] ἐντεῦθεν παράβασις γίνεται. καὶ ἔστι τοῦτο, τὸ καλούμενον κομμάτιον. μεθ' ὃ οἱ ἀνάπαιστοι. ἔπειτα τὸ μακρόν. μετὰ ταῦτα, στροφή. ἔπειτα τὸ ἐπίρρημα. ἑξῆς δὲ ἡ ἀντιστροφὴ καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα. παντοίας δὲ παντοδαπῆς ποικίλης μεμουσωμένοι ἀκροαταὶ, καὶ πάσης παιδεύσεως καὶ μέτρου ἀκροασάμενοι.

F

## ΠΑΡΑΒΑΣΙΣ ΧΟΡΟΥ.

Αναπαιστικοὶ Αριστοφάνειοι.

Ε Ι μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
Ηνάγκαζεν, ἔπη λέξοντας γ' ἐς τὸ θέατρον G
παραβῆναι.

## Transitus Chori.

*Anapaestici Aristophanij.*

*S I quis veterum scriptorum, Comicus autor nos voluisset*
*Isthaec carmina recitare, atque in vestrum prodire theatrum:*

Σχόλια. Εἰ μέν τις ἀνήρ.] ἀναπαιστικὴ διπλῆ καὶ εἴσθεσις εἰς αὐτὴν τὴν παράβασιν ἀναπαιστικοὶ στίχοι καταληκτικοὶ τετράμετροι, μ'. ὧν τελευταῖος αἴρεται ἀπὸ πολὺ τὸ ῥόθιον. παραπέμψαι τ' ἐφ' ἕνδεκα κώπαις. ἐν ἐκθέσει δὲ κῶλα ἀναπαιστικὰ τέτταρα ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα, τὸ τρίτον μονόμετρον τὸ καὶ